ἡμέρᾳ, ὅταν ᾖ γνόφος καὶ νεφέλη ἐν μέσῳ προβάτων διακεχωρι-
σμένων, οὕτως ἐκζητήσω τὰ πρόβατά μου καὶ ἀπελάσω αὐτὰ ἀπὸ
παντὸς τόπου, οὗ διεσπάρησαν ἐκεῖ ἐν ἡμέρᾳ νεφέλης καὶ γνόφου.
[13]καὶ ἐξάξω αὐτοὺς ἐκ τῶν ἐθνῶν καὶ συνάξω αὐτοὺς ἀπὸ τῶν 13
χωρῶν καὶ εἰσάξω αὐτοὺς εἰς τὴν γῆν αὐτῶν καὶ βοσκήσω αὐτοὺς
ἐπὶ τὰ ὄρη Ισραηλ καὶ ἐν ταῖς φάραγξιν καὶ ἐν πάσῃ κατοικίᾳ
τῆς γῆς· [14]ἐν νομῇ ἀγαθῇ βοσκήσω αὐτούς, καὶ ἐν τῷ ὄρει τῷ 14
ὑψηλῷ Ισραηλ ἔσονται αἱ μάνδραι αὐτῶν· ἐκεῖ κοιμηθήσονται καὶ
ἐκεῖ ἀναπαύσονται ἐν τρυφῇ ἀγαθῇ καὶ ἐν νομῇ πίονι βοσκηθή-
σονται ἐπὶ τῶν ὀρέων Ισραηλ. [15]ἐγὼ βοσκήσω τὰ πρόβατά μου 15
καὶ ἐγὼ ἀναπαύσω αὐτά, καὶ γνώσονται ὅτι ἐγώ εἰμι κύριος. τάδε
λέγει κύριος κύριος [16]Τὸ ἀπολωλὸς ζητήσω καὶ τὸ πλανώμενον 16
ἐπιστρέψω καὶ τὸ συντετριμμένον καταδήσω καὶ τὸ ἐκλεῖπον ἐν-
ισχύσω καὶ τὸ ἰσχυρὸν φυλάξω καὶ βοσκήσω αὐτὰ μετὰ κρίματος.
[17]καὶ ὑμεῖς, πρόβατα, τάδε λέγει κύριος κύριος Ἰδοὺ ἐγὼ διακρινῶ 17
ἀνὰ μέσον προβάτου καὶ προβάτου, κριῶν καὶ τράγων· [18]καὶ οὐχ 18
ἱκανὸν ὑμῖν ὅτι τὴν καλὴν νομὴν ἐνέμεσθε, καὶ τὰ κατάλοιπα τῆς
νομῆς ὑμῶν κατεπατεῖτε τοῖς ποσὶν ὑμῶν· καὶ τὸ καθεστηκὸς
ὕδωρ ἐπίνετε καὶ τὸ λοιπὸν τοῖς ποσὶν ὑμῶν ἐταράσσετε· [19]καὶ 19
τὰ πρόβατά μου τὰ πατήματα τῶν ποδῶν ὑμῶν ἐνέμοντο καὶ τὸ
τεταραγμένον ὕδωρ ὑπὸ τῶν ποδῶν ὑμῶν ἔπινον. [20]διὰ τοῦτο 20
τάδε λέγει κύριος κύριος Ἰδοὺ ἐγὼ διακρινῶ ἀνὰ μέσον προβάτου
ἰσχυροῦ καὶ ἀνὰ μέσον προβάτου ἀσθενοῦς. [21]ἐπὶ ταῖς πλευραῖς 21
καὶ τοῖς ὤμοις ὑμῶν διωθεῖσθε καὶ τοῖς κέρασιν ὑμῶν ἐκερατίζετε
καὶ πᾶν τὸ ἐκλεῖπον ἐξεθλίβετε. [22]καὶ σώσω τὰ πρόβατά μου, καὶ 22
οὐ μὴ ὦσιν ἔτι εἰς προνομήν, καὶ κρινῶ ἀνὰ μέσον κριοῦ πρὸς
κριόν. [23]καὶ ἀναστήσω ἐπ᾿ αὐτοὺς ποιμένα ἕνα καὶ ποιμανεῖ αὐτούς, 23
τὸν δοῦλόν μου Δαυιδ, καὶ ἔσται αὐτῶν ποιμήν· [24]καὶ ἐγὼ κύριος 24
ἔσομαι αὐτοῖς εἰς θεόν, καὶ Δαυιδ ἐν μέσῳ αὐτῶν ἄρχων· ἐγὼ
κύριος ἐλάλησα. [25]καὶ διαθήσομαι τῷ Δαυιδ διαθήκην εἰρήνης καὶ 25
ἀφανιῶ θηρία πονηρὰ ἀπὸ τῆς γῆς, καὶ κατοικήσουσιν ἐν τῇ ἐρήμῳ
καὶ ὑπνώσουσιν ἐν τοῖς δρυμοῖς. [26]καὶ δώσω αὐτοὺς περικύκλῳ 26

12 οταν η γνοφος και νεφελη] γνοφου και νεφελης A: cf. 12 fin. | προβατων B†] + αυτου rel. (in *O* sub ※) | απελασω] συναξω A || 13 απο] εκ A || 14 και $1^0$ addidi, mss. hab. και ante εσονται et ante κοιμηθ. | ισραηλ $1^0$] pr. εν τω ορει A† | ισραηλ ult.] pr. του Ar†; *L* add. του ante ισραηλ $1^0$ || 15 γνωσονται] pr. επι Ar†: cf. 13 23 | οτι] διοτι Ar† || 16 ζητησω] pr. εκ A | πλανωμ.] πεπλανημ. A | εκλειπον] ε $2^0$ > B*pau. hic, non in 21 || 17 προβατα] pr. τα A | κρειου και τραγου A || 18 υμων κατεπ. τοις ποσιν υμων] τοις ποσιν υμων κατεπ. A || 20 κυριος κυριος] + ο θεος A: cf. 11 || 22 ου μη ωσιν] ουκετι εσονται A(†) || 23 επ αυτους] αυτοις A† | ενα] ετερον A | ποιμε(c αι)νει B† || 24 εν μεσω αυτων / αρχων] tr. A = 𝔐 || 25 αφανιω] απολω Apau.: cf. 30 11 || 26 δωσω αυτους περικυκλω] εσονται κυκλω A